15/11/2024

# Προσευχή επί ανομβρία

Μητροπολιτικό Έργο / Ι.Μ. Μάνης




- **Τοῦ Σεβ. Μητροπολίτου Μάνης κ. Χρυσοστόμου Γ΄**

Κύριε ὁ Θεός ἡμῶν, ὁ Παντοκράτωρ καί Παντοδύναμος, σύ ὁ τά πάντα δημιουργήσας καλῶς δι' ἡμᾶς τά πλάσματά σου καί πρός τήν σήν δοξολογίαν, Φιλάνθρωπος δέ ὑπάρχων καί Πολυέλαιος, εἰσάκουσον τῆς δεήσεως ἡμῶν ἐπί τῇ δεινῇ ταύτῃ καταστάσει τῆς ἀνομβρίας. Ναί, Κύριε, ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, τάς ἐντολάς σου παρέβημεν καί τῷ φόβῳ ἀπεμακρύνθημεν. «Οἴδαμεν δέ, ὅτι πᾶσα ἡ κτίσις συστενάζει καί συνωδίνει ἄχρι τοῦ νῦν».

Διό, μή παραδῷς ἡμᾶς εἰς τέλος διά τά ἁμαρτήματα ἡμῶν. Συγχώρησον Κύριε τάς ἁμαρτίας ἡμῶν καί τήν δικαίαν παιδευτικήν ὀργήν σου ἀπόστρεψον ἀφ' ἡμῶν. Σοῦ δεόμεθα καί σέ ἱκετεύομεν, οἱ ἀνάξιοι δοῦλοι σου, ἔντειλαι τάς νεφέλας τοῦ δοῦναι ὑετόν εἰρηνικόν ἐπί πᾶσαν τήν γῆν. Εὔφρανον τήν γῆ, σπλαγχνίσθητι πᾶν τό ἀνθρώπινον γένος, πότισον πάντα τά κτήνη τῆς γῆς καί τά πετεινά τοῦ οὐρανοῦ. Βροχήν ἑκούσιον καί ὄμβρον εἰρηνικόν κατάπεμψον τοῦ δοῦναι χλόην καί πᾶσαν

καρποφορίαν. Ἀποδίωξον ἀνομβρίαν καί ξηρασίαν καί καῦμα ἡμέρας τε καί νυκτός καί διάσωσον πάντας ἡμᾶς ἐπί τῆς ἐπικειμένης ἀπειλῆς καί φθορᾶς, τῇ ἀφάτῳ σου εὐσπλαχνίᾳ καί δικαιοσύνῃ σου.

Σύ γάρ εἶ Κύριε, ἡ πηγή τοῦ ἐλέους καί ὁ τῶν ἀγαθῶν χορηγός καί σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.